Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ
ἠλπίσαμεν ἐπὶ σέ.

Ψαλμὸς τῷ Δαβίδ, ὅτε ἠλλοίωσε τὸ πρόσω-
πον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν
αὐτὸν καὶ ἀπῆλθεν. λγ'.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ και-
ρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν
τῷ στόματί μου.

Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου,
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί, καὶ ὑψώ-
σωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου, καὶ
ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ
τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσή-
κουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων
αὐτοῦ ἔσωσεν αὐτούς

Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν
φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος,

μακάριο